# De abstinendo ab omni consuetudine perniciosa, et de continentia

## Περὶ τοῦ ἀπέχεσθαι ἀπὸ πάσης βλαβερᾶς συντυχίας· καὶ περὶ ἐγκρατείας

Ἐρώτησις. Εἰ καλὸν τὸ διαπονεῖσθαι περί τινος. Ἀπόκρισις. Καλὸν τὸ προσέχειν ἑαυτὸν ἕκαστον, καὶ πάντα κατὰ Θεὸν πράττειν, τύπον καλῶν ἔργων παρεχόμενον ἑαυτὸν τοῖς πᾶσιν. Εἰ δὲ διαπονῇ περί τινος, ἐρεύνα ἀκριβῶς τὸ σεαυτοῦ συνειδός, εἰ κατὰ τὸν Θεὸν τοῦτο πράττεις ἢ οὔ· πολλαὶ γὰρ αἱ μεθοδεῖαι τοῦ Ἐχθροῦ. Σκόπει οὖν καὶ τοῦτο· μήπως κατὰ φθόνον ἢ φιλονεικίαν ἢ ἀνθρωπαρέσκειαν τοῦτο ποιεῖς. Ἀλλ' ἴσως ἐρεῖς, ὅτι τὴν διαφορὰν ἑκάστης μεθόδου μαθεῖν θέλω. Ἄκουε, τῆς χάριτος συνεργούσης. Ὁ κατὰ ζῆλον καὶ φθόνον τοῦτο ποιῶν, 232 τοιοῦτός ἐστιν, ὡς ὅταν θεάσηταί τις τινὰ εὐημεροῦντα, ἑαυτὸν δὲ στενούμενον καὶ θλιβόμενον, ὡς ἐν προσχήματι εὐσεβείας τοῦτον διαβάλλῃ, ὡς κακῶς κεχρημένον τῇ ἀδιαφορίᾳ. Ὁ δὲ κατὰ φιληδονίαν πράττων τοιοῦτός ἐστιν, ὡς ἄν τις ἐπιθυμῇ προσομιλῆσαί τινι–ἵνα εὐσχημόνως τοῦτο εἴπω–καὶ μὴ ἐπινεύσῃ τὸν ποθούμενον πρὸς τὸν ἐκείνου σκοπόν, θεάσηται δὲ αὐτὸν ἀναισχυνόμενον πρὸς ἑτέρους, καὶ πικραίνεται, καὶ τοῦτον ὡς ἐν προσχήματι εὐσεβείας κακολογεῖ, ὡς μὴ φυλάσσοντα τὴν ἑαυτοῦ σωφροσύνην· ὡς ἔστιν ἰδεῖν ἐπί τινα τῶν ἀφρόνων νεανιῶν πρὸς τὴν ἐκείνου ἐρωμένην. Ὁ δὲ κατὰ ἄνθρωπον πράττων, τοιοῦτός ἐστιν· ὅταν κρυπτῶς τὰ φαῦλα διαπράξηται, παρουσίᾳ τῶν ἀγνοούντων τὰ κατ' αὐτόν, προσποιεῖται ζῆλον ἔχειν περὶ ἀρετῆς. Ὁ δὲ κατὰ Θεὸν διαπονούμενος, οὐ περὶ τῆς ἑαυτοῦ σωτηρίας διαπονηθήσεται, ἑτέρῳ δὲ θήσει πρόσκομμα ἢ σκάνδαλον, ἀλλὰ πάντα ἐπινοεῖ καὶ διαπράττεται πρὸς τὸ ἀρέσαι Κυρίῳ τῷ Θεῷ τῷ εἰπόντι· ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου· καὶ τὸν πλησίον σου ὡς σεαυτόν. 233 Μνημονεύοντες οὖν τοῦ εἰπόντος, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός, καί, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, πάντα κατὰ Θεὸν διαπραξώμεθα· Θεὸς γὰρ οὐ μυκτηρίζεται. Ἐὰν θεάσῃ σεαυτὸν ἑλκόμενον ὑπὸ λογισμοῦ τινος ἐπὶ συντυχίᾳ προσώπου εὐανθοῦς, ἢ παιδίου ἢ γυναικός, γίνωσκε σεαυτὸν πρὸς τοὺς βρόχους τοῦ Ἐχθροῦ ἐγγίζοντα· εἰ δὲ καὶ νουθετούμενος, μὴ ἀποστῇς, γίνωσκε σεαυτὸν ἐντὸς τῶν βρόχων γενόμενον· ὅθεν οὐδὲ τῆς ἡδονῆς ῥᾳδίως κρατήσεις· εἰ γὰρ ἐκ τῆς ἐπιβλαβοῦς συντυχίας ὑφεξαιρεῖν σεαυτὸν οὐκ ἐξίσχυσας, μᾶλλον δὲ οὐκ ἠθέλησας, πῶς οὐ χρήσεταί σε ὁ Ἐχθρὸς καὶ τῇδε ἐνεργείᾳ σφαγῇ; Εἰ δὲ λέγεις· συντυγχάνω μέν, οὐ βλάπτομαι δέ· καὶ τοῦτο σημεῖον ἐμπαθοῦς ψυχῆς. Πῶς γὰρ οἷόν τε ἐπ' ἀνθράκων περιπατεῖν καὶ τοὺς πόδας μὴ κατακαίεσθαι; Ἐὰν ἴδῃς τινὰ διαφθείροντα τὴν αὑτοῦ σωφροσύνην, τρόπους δὲ χρηστοὺς προσποιούμενον ἑαυτῷ, φυλάττου ἀπ' αὐτοῦ· δόλος γὰρ ἐν ἑαυτῷ. Τί γὰρ ὠφελήσει δένδρον ἐν ᾧ δράκων ἐγκέκρυπται; Καρποὺς γὰρ εὐθέτους δοκεῖ ἔχειν ἐν 234 ἑαυτῷ, πρὸς δέλεαρ τῷ προσιόντι. Ἐσθίειν σεμνῶς, καὶ πίνειν εὐλαβῶς, καὶ φρονεῖν ἀκενοδόξως, καὶ καθεύδειν ἐν καιρῷ συγκεχώρηται ἡμῖν ὑπὸ τῆς προνοίας· πορνεύειν δὲ ἢ μοιχεύειν ἢ ἀσελγαίνειν ἢ ἑτέραν ῥυπαρὰν ἐπιθυμίαν διαπράττεσθαι, οὐ συγκεχώρηται ἡμῖν παντελῶς. Ἐὰν βούλῃ σωφρονεῖν, ἄγε ἐγκράτειαν καὶ ἀπότεμνε ἀπὸ σοῦ τὰς βλαβερὰς συντυχίας. Ἐν ὅσῳ γὰρ προσεγγίζει τις τοῖς αἰτίοις τοῦ σκανδάλου, ἀμήχανον τὸ διαλιπεῖν τὴν αὑτοῦ καρδίαν ταραχὴν λογισμῶν καὶ ἔκκαυσιν ἐπιθυμιῶν πονηρῶν· ἡ γὰρ φαινομένη ὄψις καὶ οἱ λόγοι ἐρεθίζουσιν αὐτὴν πρὸς τὸ πάθος. Ὥσπερ γὰρ σπόγγος προσεγγίζων τοῖς ὑγροῖς ἀνιμᾶται καὶ μεταλαμβάνει τῆς ὑποκειμένης ὑγρασίας, οὕτω καὶ ὁ ἀσθενὴς τῷ λογισμῷ, προσεγγίζων τοῖς τὰ σαρκικὰ φρονοῦσιν, ἢ προσομιλῶν ἐπὶ πολύ, μεταλαμβάνει τῆς βλάβης. Ὅθεν καὶ διὰ τοῦτο μεθυσκόμενος ἄνευ οἴνου ὑποβρύχιος γίνεται· ἐν τῷ γὰρ αὐτὸν μεστωθῆναι τῆς προσούσης βλάβης, οὐκέτι εἰσδέχεται τὸν πνευματικὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγον· ἡ γὰρ προκαταλαβοῦσα καὶ προκατασχοῦσα ἀκόλαστος ἐπιθυμία κώλυ 235 μα καθίσταται τῷ πνευματικῷ λόγῳ, τὴν εἴσοδον αὐτῷ ἀποκλείουσα. Ἐὰν γάρ τις καταμάθῃ ἀκριβῶς, εὑρήσει τὸν αὐτὸν τρόπον ἔχειν οὐ μόνον ἐπὶ φιληδονίας πάθους, ἀλλὰ καὶ ἐπὶ παντὸς πράγματος ἀπηγορευμένου· ὅταν γὰρ ἡ ἐπιθυμία οἱουδήποτε πράγματος εἰσδύνῃ διὰ τῶν αἰσθήσεων, περικυκλοῖ καὶ πολιορκεῖ τὴν ψυχὴν διὰ τῆς ἐννοίας, καὶ τῷ θείῳ λόγῳ ἀποκλείει τὴν εἴσοδον, καὶ ὥσπερ ἐάν τις ἐμβάψῃ ἐν ὄξει σπόγγον καί, πρὶν τοῦτον ἐκπιάσῃ, βουληθείη ἐπιρρᾶναι αὐτῷ οἶνον, οὐκ εἰσδέχεται· ἡ γὰρ προκαταλαβοῦσα τοῦ ὄξους ῥοή, τῇ ἐπιβαλλομένῃ τοῦ οἴνου ῥανίδι ἐμπόδιον γίνεται. Οὕτω καὶ οἱ μεστωθέντες τῇ ἐπιθυμίᾳ, νουθετούμενοι ἀνήκοοί εἰσι· καὶ περὶ σωφροσύνης διαλεγόμενοι, καὶ περὶ ταύτης εἰκότως τὴν ἀνάγνωσιν ποιούμενοι, τοῦ αἰσχροῦ πάθους οὐκ ἀφίστανται. Διόπερ ἀναγκαῖον τοῖς νεοφύτοις σπάνιον περὶ κρυπτῶν λογισμῶν τὴν διάλεκτον ποιεῖσθαι· αὐτὴ γὰρ μνήμη κίνησιν οὐ τὴν τυχοῦσαν ἐμποιεῖ, ῥύπον προξενοῦσα τῇ ψυχῇ, καὶ κατ' ὀλίγον πρὸς πάθος ἐξάπτουσα. Χρὴ δὲ ἁγίοις καὶ δοκίμοις γέρουσι τοὺς λογισμοὺς ἀναθέσθαι· οἱ γὰρ ἡττημένοι τῷ ἀκολάστῳ πάθει, πολλάκις ἐκ τῶν περὶ σωφροσύνης ἀρχόμενοι λόγων, ὁρμῶσιν ἐπὶ καταλύ 236 σει καὶ ἀφανισμῷ τῆς αὐτῆς ἀρετῆς. Διὰ τοῦτο χρὴ τὸν μετανοεῖν βουλόμενον ἐπιλαμβάνεσθαι ἰσχυρῶς τοῦ σώφρονος λογισμοῦ, καὶ τὴν σάρκα ὑπωπιάζειν τοῖς ἀγαθοῖς πόνοις, καὶ τὴν διάνοιαν τῶν φαύλων καὶ αἰσχρῶν ἐκτινάσσειν διὰ τῆς διηνεκοῦς μνήμης τοῦ Θεοῦ· ἐν τούτῳ γὰρ πληροῦται ὁ νοῦς ἡμῶν τῆς χάριτος τοῦ Θεοῦ, καὶ τοῖς ἐπεισελθεῖν βουλομένοις ἐπιβούλοις ἐμπόδιον γίνεται ἡ ἐνοικοῦσα καὶ περικρατοῦσα θεία χάρις, τὴν εἴσοδον αὐτοῖς ἀποκλείουσα. Χρὴ τοίνυν πρὸ ὀφθαλμῶν ἔχοντας τὴν ἑαυτῶν ἀσθένειαν καὶ τὸ εὐόλισθον τῆς διανοίας ἐπιμελῶς φυλάσσεσθαι ἀπὸ πάσης βλαβερᾶς συντυχίας, καὶ μὴ ἐν προφάσει εὐσεβοῦς λογισμοῦ βρόχον ἐπιβάλλειν τῇ ἑαυτῶν ψυχῇ· οἶδε γὰρ ὁ Ἐχθρὸς τὰ τοιαῦτα ἐπιφέρειν· φησὶ γάρ· ἵνα μὴ ἀπόληται τὸ παιδίον τὸ ὀρφανὸν ἢ ἡ ὀρφανή, παραβοήθει· σύνελθε δὲ τῇ χήρᾳ καταπονουμένῃ· ἵνα διὰ τούτων ζηλωτὰς ἡμᾶς ἀπεργάσηται πραγμάτων, ὧν τὴν ἐργασίαν ἐκτελεῖν ἀμέμπτως οὐκ ἐξισχύομεν. Διὰ τοῦτο χρὴ ἐν διακρίσει καὶ φόβῳ Θεοῦ πολιτεύεσθαι, καὶ τὴν ἐν Κυρίῳ ἡσυχίαν παντὶ σθένει μεταδιώκειν, ἐπιστάμενοι σαφῶς ὅτι ἐν τῇ ζημίᾳ τῆς ψυχῆς κέρδος οὐχ εὑρίσκεται. Ἀκούσωμεν γὰρ οὖν τοῦ 237 Ἀποστόλου λέγοντος· μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. Καὶ μήτε νέον ὄντα τινὰ καταφρονεῖν, μήτε ἐν γήρει παραμελεῖν· ἀμφοτέρων γὰρ τὸ τέλος ἄδηλον ὑπάρχει. Κατανοήσωμεν δὲ γηπόνους· οὗτοι γὰρ τὴν γῆν ὁμαλίσαντες, τὸν σπόρον καταβάλλουσιν· καὶ ἐν τῷ χλοηφορεῖν τὰς γαίας ἐπιμελῶς φυλάσσουσι, καὶ τὰ πετεινὰ καὶ τὰ τετράποδα ἀποσοβοῦσιν, ἵνα μὴ ἐν τῷ τὸν σπόρον ἔτι τρυφερὸν ὄντα καὶ ἁπαλὸν ἐκτιλῇ καὶ ἀχρειωθῇ ὑπὸ τῶν τοιούτων· καὶ ὅταν αὐξηθῇ πρὸς θερισμόν, οὐδὲ τότε ἀμεριμνοῦσιν, ἀλλ' ἐναγώνιοι γίνονται, μήποτε χάλαζα ἐκτινάξῃ τὸν ἀμητόν, καὶ ἀκρίδες καταφάγωσι τὸν θερισμόν, ἢ ἀνεμοκαύσων διαφθείρῃ τὸν καρπόν. Ὅθεν καὶ συνεχῶς λιτανεύουσι καὶ ἱκετηρίους φωνὰς εἰς οὐρανὸν ἀναπέμπουσιν, ὅπως Κύριος σῴους καὶ ἀβλαβεῖς ἀποδώσῃ αὐτοῖς τοὺς καρπούς. Τότε ἀποθέμενοι τὸν καρπὸν εἰς τὰς ἑαυτῶν ἀποθήκας, ἑορτάζουσι μετ' εὐφροσύνης πολλῆς. Οὕτω χρὴ καὶ τοῖς τὸν πνευματικὸν μετιοῦσι βίον ἐγρηγορέναι καὶ νήφειν καὶ φυλάσσειν τὸν θεῖον σπόρον καὶ μὴ ὑπερδοῦναι τῷ σκοπῷ τῆς πρὸς τὸν Θεὸν ἀγάπης, ἄχρις οὗ τὸν καρπὸν τέλειον ἀποδώσωσι τῷ Κυρίῳ, καὶ τὸ σῶμα εἰσαχθῇ ἐν τῷ τάφῳ. Τότε γὰρ ὁ καρπὸς ἔσται βέβαιος καὶ ἐν ἀσφαλείᾳ 238 πολλῇ, συληθῆναι ἔτι μὴ δυνάμενος. Δῴη δὲ ἡμῖν ὁ Κύριος καρποὺς εὐπροσδέκτους ποιεῖν αὐτῷ, ὅπως εὕρωμεν ἔλεος ἐνώπιον αὐτοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ φοβερᾷ καὶ φρικτῇ, ὅταν ἀποκαλύψῃ τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσῃ τὰς βουλὰς τῶν καρδιῶν. Ὧ ἡ δόξα καὶ ἡ μεγαλωσύνη καὶ ἡ αἴνεσις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.